**ἀνακύκλησις**

Hephaest. 59. 21 sqq. μετρικὰ δὲ (*scil.* τὰ ποιήματα) ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον οὔτε συστηματικά· οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ᾿ ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον ἐπίγραμμα· (EG 52 Page)

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.

Hephaest. 64. 22 sq. κατὰ σχέσιν μὲν (*scil.* τὰ ποιήματα) οὖν ἐστι, ἃ δουλεύων ἀνταποδόσει καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει.

Tzetz. *de metr. Pind.* 16. 5 sqq.

ἅπερ δὲ (*scil.* ποιήματα) μέτρῳ γέγραπται τινὶ οὐ τεταγμένῳ
οὐκ ἀνακύκλησιν τινὰ οὔμενουν κεκτημένα,
οὐχ ὁμοιότητα τινὰ πρὸς ἄλληλά τε σχόντα,
καὶ μετρικὰ καὶ ἄτακτα καλοῦνται παρὰ πᾶσιν·
ὡς ἔταξεν ὁ ποιητὴς ἐν τῷ αὐτοῦ Μαργείτῃ
ἐν ᾧ τοῖς ἔπεσί τινα ἰαμβικὰ τελοῦσιν,
ἀλλ᾿ οὐ κατ᾿ ἶσον σύστημα, οὐ μετὰ τόσους στίχους,
ἀλλ᾿ ἔστιν οὗ μετὰ δέκα, ἔστιν οὗ μετὰ πέντε,
καὶ μετὰ ἕξ, καὶ μεθ᾿ ἑπτά, ἐπῶν μετ᾿ ὀγδοάδα.

Schol. rec. in Aesch. *Prom.* 526 (p. 41 Smyth) κατὰ σχέσιν δέ (*scil.* τὰ ποιήματα) ἐστιν, ὡς Ἡφαιστίων (p. 64. 22 sq.) φησίν, ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει.

Schol. A in Hephaest. 168. 3 sqq. οὔτε δὲ ὁμοιότητα ἔχει (*scil.* τὰ ποιήματα μετρικὰ ἄτακτα) πρὸς ἄλληλα ὥστε στιχήρη γενέσθαι, οὔτε ἀνακύκλησιν ὥστε κατὰ σχέσιν γενέσθαι, ἀλλὰ ἀδιάφορον τὴν τῶν μέτρων ἐξαλλαγήν. οὔτε δὲ [τὰ ἀπολελυμένα], φησίν, ἀνακύκλησιν ἔχει, ἀλλ᾿ αὐτόθεν ἐστὶν ὁμολογούμενα, οἷον τὸ Ζιμωνίδου ἐπίγραμμα· (EG 52. 1 Page)

Ἴσθημα δίς, Νεμέᾳ δίς.

δακτυλικὸν γὰρ ἑξάμετρον καὶ ἐλεγεῖον καὶ ἴαμβος, οὔτε κατὰ στίχον καὶ ὅμοια ἀλλήλοις, οὔτε κατὰ σχέσιν ἀνταποδιδόμενα.

Schol. B in Hephaest. 263. 13 sqq. τῶν δὲ (*scil.* ποιημάτων) κατὰ σύστημα γεγραμμένων τὰ μὲν κατὰ σχέσιν ... κατὰ σχέσιν μὲν οὖν ἐστι τὸ κατὰ ἀνταπόδοσιν καὶ ἀνακύκλησιν μέτρου, ἀπολελυμένα δὲ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου.

Schol. Byz. in Soph. *Oed. tyr.* 151 (p. 269. 7 sqq. Longo) μονοστροφικὰ δέ (*scil.* τὰ ποιήματα) ἐστιν, ὡς Ἡφαιστίων (p. 66. 21 sq.) φησίν, ὁπόσα ἀπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ τὰ Ἀνακρέοντος. καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν. [*S.D.B.*]